UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Ōrigenus Tōn Eis Tas Theias Graphas Exēgētikōn Hapanta Ta Hellēnisti Heuriskomena

**Origenes**

**Coloniæ, 1685**

E parte nona in epistolam ad Romanos: ad illud: Quid igitur lex peccati?

urn:nbn:de:hbz:466:1-79869

Visual Library

των φύσεις, ἀλλὰ διὰ τὰς προεγνωσμένας μὲν πρότερον πράξεις, ὕστερον δὲ γινομένας ἑκάστην * ἐκ τῆς παρασκευῆς καὶ τῆς προαιρέσεως τῆς ἀποστολικῆς· νῦν δὲ ἀποδιδόναι εἰς τὸ αὐτοῦ τοῦ ψαλμοῦ ῥητὸν, οὐκ ἦν εὔκαιρον, παρεκβατικὸν γὰρ ἦν. διὸ εἰς τὴν οἰκείαν τάξιν θεοῦ διδόντος ἀποδοθήσεται, ὅταν τὸν ψαλμὸν διηγησώμεθα· ἀρέσκει δὲ καὶ ταῦτα πεπλεονασμένα εἰς τὸ, ἀφωρισμένος.

* γρ. ἐπὶ

A longe superaret: sed ob præscitas prius actiones, quæ postea factæ sunt ex Apostolica quadam institutione. Neque jam Psalmi dictum interpretari tempestivum fuit; erat enim extra propositum: quare proprio loco Deo dante explicabitur, cum Psalmum edisseremus. Sed hæc copiosius in illud, *Segregatus*, & cætera disputata sufficiant.

---

Ἐκ τοῦ εἰς τὴν πρὸς Ῥωμαίους τόμου θ', εἰς τό. * Τί οὖν ὁ νόμος ἁμαρτίας;

* γρ. τί οὖν. ὁ νόμος ἁμαρτία;

*E parte nona in epistolam ad Romanos: ad illud: Quid igitur lex peccati?* Rom. 7. 7.

## *Eodem Interprete.*

ΟΥχ᾽ ὥσπερ ὄνομα ἕν ἐστι νόμος, οὕτω καὶ εἷς ὁ περὶ νόμου πανταχοῦ τῆς γραφῆς λόγος· διὸ καθ᾽ ἕκαστον χρὴ τόπον αὐτῆς ἐπιμελῶς ἐπιστήσαντα θεωρῆσαι, νῦν μὲν τί σημαίνεται ἐκ τῆς * νόμος φωνῆς, νῦν δὲ τί χρὴ τὸ τοιοῦτον ἐννοεῖν· ἀλλὰ καὶ περὶ ἄλλων πλειόνων, ὁμώνυμοι γὰρ καὶ ἐπὶ ἄλλων εἰσὶ κατὰ τὴν γραφὴν φωναί. αἵτινες συγχέουσι τοὺς νομίζοντας, ὅτι ὡς ὄνομα ἕν ἐστιν, οὕτω καὶ τὸ σημαινόμενον ἕν· ὅπου ἂν τοῦτο ὀνομασθῇ· ὅτι δὲ ἡ, νόμος, φωνὴ οὐκ ἐπὶ τοῦ αὐτοῦ, ἀλλ᾽ ἐπὶ πλειόνων τέτακται, τὰ πολλὰ παραλιπόντες καὶ δεόμενα κατασκευῆς, ἔχοντα ἀνθυποφορὰν λύσεως δεομένην, ἐκθησόμεθα τὰ πάνθ᾽ ὁντινοῦν δυσωπῆσαι δυνάμενα, ὡς τῆς, νόμος, φωνῆς κειμένης ἐπὶ πλειόνων, οἷον ἐπὰν ἐν τῇ πρὸς Γαλάτας λέγηται· ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί. γέγραπται γάρ. ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει * πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά. σαφὲς ὅτι νόμος ὁ κατὰ τὸ γράμμα δηλοῦται Μωσέως τὸ προστακτικὸν μὲν ὧν ποιητέον, ἀπαγορευτικὸν δὲ ὧν οὐ ποιητέον τοῖς αὐτῷ ὑποκειμένοις· τὸ δ᾽ * αὐτῷ δηλοῦται ἐν τῇ αὐτῇ ἐπιστολῇ, καὶ ἐν τῷ· ὁ νόμος γὰρ τῶν παραβάσεων χάριν ἐτέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα * ᾧ ἐπήγγελται, διαταγεὶς δι᾽ ἀγγέλων ἐν χειρὶ μεσίτου. καὶ ἐν τῷ· ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. πάντες γὰρ υἱοὶ θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· σημαίνεται καὶ ἡ παρὰ Μωσεῖ ἀναγεγραμμένη ἱστορία ἀπὸ τῆς, νόμος, φωνῆς, ὡς ἀπὸ τῆς αὐτῆς ἐπιστολῆς ἔστι λαβεῖν, ἐκ τοῦ· λέ-

* γρ. νόμου
* γρ. ἐν πᾶσι
* γρ. αὐτὸ
* γρ. ᾧ

B NOn quomodo lex unum nomen est, sic unus est ubique de lege Scripturæ sermo. Quare in singulis locis opus est eam accurate persequi ac contemplari, & nunc quid significetur legis nomine, nunc vero quid illud sit, perpendere. Sed & in aliis compluribus vocibus id tenendum est. Sunt enim in Scriptura, aliis significandis rebus eandem sortitæ appellationem voces, quæ confundunt eos qui existimant, quemadmodum una vox est, ita unum esse significatum, ubicunque nomen id locum habuerit. Quod autem legis vox
C non eidem significando, sed pluribus ponatur, multis prætermissis, quæ ad impeditos sensus quos continent solvendos, operam tum & studium efflagitent, exponemus ea, quæ sedare quemlibet possunt, ut Legis voce pluribus [significandis] posita: veluti cum in Epistola ad Galatas dicitur: *Quicunque ex operibus Legis sunt, sub maledictione sunt: scriptum est enim: Execrabilis qui non adhæret omnibus, quæ scripta* Gal. 3. 10.
D *sunt in libro Legis, ut faciat ea*; planum est his verbis significari Mosis Legem, quæ imperat facienda iis qui ipsi subjacent. Hoc autem iis verbis declaratur in eadem Epistola, & his: *Lex enim propter transgressiones posita est, donec venerit semen, cui promissum est, ordinata per Angelos in manu mediatoris*: & in his: *adeo ut Lex noster pædagogus fuerit in Christum, ut ex fide justificemur: at ubi venit fides, non jam sub pædagogo sumus; Omnes enim filii Dei estis per fidem in Christo Jesu.* Legis etiam nomine significatur historia
E apud Mosen descripta, quemadmodum ex ea ipsa Epistola discimus his verbis:

Gal. 3. 19.
Gal. 3. 24. & seq.

Gal. 4. 21. & seq. *Dicite mihi, qui sub Lege vultis esse, Legi non auscultatis: Scriptum est enim, Abraham duos filios habuit, unum ex ancilla, & unum ex libera; sed qui ex ancilla, secundum carnem natus est; qui autem ex libera, per promissionem.* Scio & Psalmos Legem appellari, ut planum est ex iis:
Ioh. 15. 25. *Ut impleatur sermo, qui in Lege ipsorum*
Ps. 34. 19. *scriptus est; Quia oderunt me gratis.* Sed & Esaiæ vaticinium, Lex vocatur ab
1. Cor. 14. 21. Apostolo dicente: *In Lege scriptum est, & in aliis linguis & labiis aliis loquar po-*
Es. 28. 11. *pulo huic, & neque sic audient me, dicit Dominus.* Inveni enim in Aquilæ interpretatione, quæ huic dicto ex æquo responderent. Dicitur & Lex, abstrusior & divinior Legis intelligentia, sicuti
Rom. 7. 14. in hoc loco: *Scimus & Legem esse spiritus.* Ad hæc, Lex dicitur, quæ secundum communem sensum, animæ insita est, &, ut loquitur Scriptura, inscripta cordi, imperans quæ facienda, & vetans quæ non facienda, quod & his
Rom. 2. 14, 15. verbis declaratur: *Cum enim gentes quæ Legem non habent, natura, quæ Legis sunt, faciant: hi qui Legem non habent, sibi ipsi sunt Lex, qui ostendunt opus Legis scriptum in cordibus suis, testimonium perhibente ipsorum conscientia.* Quæ enim in cordibus scripta est Lex, & in Gentibus natura quæ Lex jubet facientibus, non alia est ab ea, quæ secundum communem sensum natura inscripta est principi parti nostræ, & quæ quotidie cum rationis perfectione ac consummatione adultior fit & solidior. Hic erat Legis
Rom. 5. 13. significatus: & hoc loco: *Peccatum non imputatur, cum non est Lex:* & in hoc:
Rom. 7. 7. *Peccatum non cognovi nisi per Legem:* ante Legem enim Mosis imputatum est peccatum, & Cain, & qui diluvio absorpti sunt, & Sodomitis, & aliis innumeris. Et multi ante Legem Mosis peccatum cognoverunt. Nec mireris, quod duæ Legis significationes vocis hujus in eodem loco accipiuntur. Hunc enim morem & in aliis Scripturis inveniemus quemadmodum:
Ioh. 4. 35. *Nonne dicitis, quatuor menses superesse & messis venit? Attollite oculos & videte regiones, quia jam albæ sunt ad messem.* Bis enim messis nominatur; prius quidem ad corpoream messem refertur, posterius ad messem spiritus. Simile autem invenies in cæco ab ipso natu, curato, cui
Ioh. 9. 39. hæc loquitur corpore cæcutienti: *Ego ad judicium in hunc mundum veni, ut qui non vident, videant, & qui vident, cæci*

A λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε; γέγραπται γὰρ ὅτι ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγένηται. ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας· οἶδα καὶ τοὺς ψαλμοὺς ὀνομαζομένους νόμον, ὡς δῆλον ἐκ τοῦ. ἵνα πληρωθῇ ὁ λόγος ὁ ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος, ὅτι ἐμίσησάν με δωρεάν· ἀλλὰ καὶ ἡ τοῦ ἡσαΐου
B προφητεία νόμος παρὰ τῷ ἀποστόλῳ λέγεται φάσκοντι. ἐν τῷ νόμῳ γέγραπται, ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει κύριος· εὗρον γὰρ τὰ ἰσοδυναμοῦντα τῇ λέξει ταύτῃ ἐν τῇ τοῦ ἀκύλου ἑρμηνείᾳ κείμενα· λέγεται νόμος καὶ ἡ μυστικωτέρα καὶ θειοτέρα τοῦ νόμου ἐκδοχή· ὡς ἐν τῷ. οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστι· παρὰ δὲ ταῦτα πάντα λέγεται νόμος, ὁ κατὰ τὰς κοινὰς ἐννοίας ἐνεσπαρμένος τῇ ψυχῇ, καὶ ὡς ὀνομάζει ἡ γραφή,
C ἐγγεγραμμένος τῇ καρδίᾳ λόγος, προστακτικὸς μὲν ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ, ὧν οὐ ποιητέον. καὶ τοῦτο δὲ δηλοῦται ἐν τῷ. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῶσιν, οὗτοι νόμον μὴ ἔχοντες * ἑαυτῶν εἰσὶ νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως. ὁ γὰρ γραπτὸς ἐν ταῖς καρδίαις νόμος, καὶ ἐν ἐθνικοῖς φύσει τὰ τοῦ νόμου ποιοῦσιν,
D οὐκ ἄλλος ἐστὶ τοῦ κατὰ τὰς κοινὰς ἐννοίας φύσει ἐγγεγραμμένου τῷ ἡγεμονικῷ ἡμῶν, καὶ τρανωτέρου μετὰ τῆς συμπληρώσεως τοῦ λόγου ὁσημέραι γινομένου· τοῦτο τὸ σημαινόμενον ἦν τοῦ νόμου καὶ ἐν τῷ. ἁμαρτία οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου. καὶ ἐν τῷ· τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου. πρὸ γὰρ τοῦ κατὰ μωσέα νόμου ἐλλελόγηται ἁμαρτία καὶ τῷ κάϊν, καὶ τοῖς τὸν κατακλυσμὸν παθοῦσιν, ἔτι δὲ καὶ τοῖς σοδομίταις, καὶ ἄλλοις μυρίοις· πολλοί τε ἔγνωσαν τὴν ἁμαρτίαν καὶ πρὸ τοῦ μωσέως νόμου· καὶ μὴ θαυμά-
E σῃς εἰ δύο σημαινόμενα τοῦ ἑνὸς ὀνόματος τοῦ νόμου ἐν τῷ αὐτῷ παρείληπται τόπῳ. εὑρήσομεν γὰρ ταύτην τὴν συνήθειαν καὶ ἐν ἄλλαις γραφαῖς. οἷον. οὐχ ὑμεῖς λέγετε ὅτι τετράμηνός ἐστι καὶ ὁ θερισμὸς ἔρχεται; ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη· δὶς γὰρ ὁ θερισμὸς ὀνομασθεὶς κατὰ μὲν * τὸ πρότερον ἐπὶ τὸ σωματικὸν ἀναφέρεται. κατὰ δὲ τὸ δεύτερον, ἐπὶ τὸ πνευματικόν· τὸ δὲ ὅμοιον εὑρήσεις καὶ ἐπὶ τοῦ ἀπὸ γενετῆς τυφλοῦ θεραπευθέντος. ᾧ ἐπιφέρει σωματικῶς γινομένῳ, * τό. εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ γένωνται·

*γρ. ἑαυ-
*γρ. τὸ
*γρ. τυφλῷ τῷ οὕτω

οὕτω καί. νῦν χωρὶς μὲν νόμου τοῦ τῆς φύσεως, δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη δὲ ὑπὸ νόμου τοῦ μουσέως καὶ τῶν προφητῶν· εἴποιμι δ᾽ ἂν πρὸς τοὺς ἔτι ὀκνοῦντας παραδέξασθαι τὸ διττὸν σημαινόμενον τοῦ νόμου, ὅτι εἴπερ ὁ αὐτὸς νόμος παρείληπται ἔν τε τῷ. νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, καὶ ἐν τῷ. μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, εἰ μὲν χωρὶς νόμου πεφανέρωται, οὐχ ὑπὸ νόμου μαρτυρεῖται. εἰ δὲ ὑπὸ τοῦ νόμου μαρτυρεῖται, οὐ χωρὶς νόμου πεφανέρωται· τὴν τοίνυν δικαιοσύνην τοῦ θεοῦ φανερουμένην ὑπὸ ἰησοῦ χριστοῦ μαρτυρεῖ μὲν οὐδαμῶς ὁ τῆς φύσεως νόμος. μικρότερος γάρ ἐστιν αὐτῆς. ὁ δὲ μωσέως νόμος, οὐ τὸ γράμμα, ἀλλὰ τὸ πνεῦμα, καὶ οἱ ἀνάλογον τῷ πνεύματι τοῦ νόμου προφῆται. καὶ * ὁ ἐν αὐτοῖς πνευματικὸς λόγος [* γρ. οἱ ἐν αὐτοῖς πνευματικοὶ λόγοι]· διὸ χρὴ ἐπιμελῶς τὸν ἀναγινώσκοντα τὴν θείαν γραφὴν, τηρεῖν ὅτι οὐ πάντως ταῖς αὐταῖς λέξεσιν ἐπὶ τῶν αὐτῶν πραγμάτων χρῶνται αἱ γραφαί· τοῦτο δὲ ποιοῦσιν, ὁτὲ μὲν παρὰ τὴν ὁμωνυμίαν, ὁτὲ δὲ παρὰ τὴν τροπολογίαν, καὶ ἔσθ᾽ ὅτε παρὰ τὴν σύμφρασιν ἀπαιτοῦσαν ἄλλως τῇ λέξει χρήσασθαι ἐν τοισδέ τισιν, ἢ ὡς κεῖται ἐν ἑτέροις· καὶ τοῦτο ἐὰν ἐπιμελῶς * παραφυλαττώμεθα [* γρ. φυλαττώμεθα], πολλῶν σφαλμάτων ἀπαλλαττώμεθα καὶ παρεκδοχῶν. χρὴ οὖν εἰδέναι ὅτι τό, ἑώρακεν, οὐκ ἐπὶ τοῦ αὐτοῦ κεῖται ἀεί. ἀλλ᾽ ὁτὲ μὲν ἐπὶ τοῦ σωματικοῦ ὁρᾶν. ὁτὲ δὲ ἀντὶ τοῦ νοεῖν. καθόλου γὰρ τοῦτο ἰστέον, ὅτι προκειμένου κρύψαι, καὶ μὴ φανερῶς ἐκθέσθαι τὰ νοήματα τῆς ἀληθείας, τῷ ἐν τοῖς προφήταις πνεύματι, καὶ ἐν τοῖς ἀποστόλοις χριστοῦ λόγῳ, πολλαχοῦ καὶ ὑπὸ τῆς φράσεως συγχεῖται, καὶ οὐχ ὡς ὑπὸ μίαν λέγεται ἀκολουθίαν. ἵνα μὴ καὶ ἀνάξιοι εἰς κρῖμα τῆς ἑαυτῶν ψυχῆς εὕρωσι τὰ συμφερόντως αὐτοῖς ἀποκεκρυμμένα· καὶ τοῦτο πολλαχοῦ αἴτιόν ἐστι τοῦ δοκεῖν μὴ ἔχειν σύνταξιν, μηδὲ ἀκολουθίαν τὴν ὅλην γραφὴν καὶ μάλιστα, ὡς προείπομεν, τὴν προφητικὴν * καὶ τὴν ἀποστολικήν [* Vid. Not.]. καὶ μάλιστα τῆς ἀποστολικῆς τὴν πρὸς ῥωμαίους ἐπιστολὴν, ἐν ᾗ τὰ περὶ νόμου διαφόρως ὀνομάζεται, καὶ ἐπὶ διαφόρων πραγμάτων κείμενα. ὥστε δοκεῖν ὅτι οὐκ ἔχεται ὁ παῦλος ἐν τῇ γραφῇ τῆς ἐπιστολῆς τοῦ προκειμένου αὐτῷ σκοποῦ:

*fiant.* Sic &: *Nunc sine Lege naturæ justitia Dei apparuit, testimonio Legis Mosis & Prophetarum prænunciata.* [Rom. 3. 21.] Dixerim vero iis qui dubitant, duplicem Legis significatum recipere, si Lex eadem accipitur, & in hoc loco: *Sine Lege justitia Dei illuxit*, & in illo: *A Lege & Prophetis prænunciata*, si absque Lege apparuit, non à Legis testimonio prænunciatur? si vero Legis testimonio comprobatur, non sine Lege declarata est. Justitiam itaque Dei, quæ à Jesu Christo declarata est, nequaquam suo testimonio comprobat naturæ Lex, minor enim est ipsa: Lex autem Mosis, non litera, sed spiritus, & spiritui Legis respondentes Prophetæ: & qui in ipsis est sermo spiritus. Quare diligenter observare oportet eum, qui divinas Scripturas pervolutat, non eas semper iisdem vocibus, non iisdem rebus uti: quod interdum faciunt per cognominationem, quandoque per figuratam rationem, aliquando propter elocutionis contextum, qui exigit ut aliter in aliquibus dictio usurpetur, quam ut in aliis posita est: quod si attente observemus, multos lapsus evitabimus & sinistras interpretationes. Sciendum est itaque, non eodem semper significatu poni, *Vidit*, sed aliquando in visu corporis, idem interdum esse quod intelligere. Id enim universe sciendum est, quod cum decretum sit spiritui, qui in Prophetis * legitur [* l. f. loquitur.], abscondere, neque palam exponere sensa veritatis; quemadmodum Christi verbo, in Apostolis; sæpe & sub locutione permiscetur, neque quasi sub unam seriem orationis contexitur, ne videlicet indigni, ad animæ suæ judicium inveniant, quæ utiliter illis abscondita sunt. Quæ ut plurimum caussa est, cur videantur Scripturæ, non satis apta compositione & consecutione cohærere, maxime vero, uti superius diximus, Prophetica & Apostolica, Epistola præsertim ad Romanos, in qua quæ de Lege dicuntur, diversis modis dicuntur, & diversis rebus imponuntur, ut videatur Paulus in illa Epistola rem propositam non exequi.